# MALS Summer Week

# 2025

## Intermediate Greek

Samuel Hendrick Wessels

# Table of Contents

1. c. 7BCE, Hesiod, *Theogony*, 116–139 .......... 3
2. 411(?)BCE, Honours for Pythophanes, *AIO* 305, 15–28 .......... 4
3. 4BCE, Xenophon, *Cyropaedia*, I, 3.4–6 .......... 5
4. 2–3CE, IK Apameia (Bith.) u. Pylai, 28 .......... 6
5. 2CE, Plutach, *Life of Romulus*, 16. .......... 7
6. 257BCE, P.Zen. Pestm. 23 .......... 8

## 1. c. 7BCE, Hesiod, *Theogony*, 116–139

ἤτοι μὲν πρώτιστα Χάος γένετ᾽· αὐτὰρ ἔπειτα
Γαῖ᾽ εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεὶ
ἀθανάτων οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου
Τάρταρά τ᾽ ἠερόεντα μυχῷ χθονὸς εὐρυοδείης,
ἠδ᾽ Ἔρος, ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι,
λυσιμελής, πάντων τε θεῶν πάντων τ᾽ ἀνθρώπων
δάμναται ἐν στήθεσσι νόον καὶ ἐπίφρονα βουλήν.
ἐκ Χάεος δ᾽ Ἔρεβός τε μέλαινά τε Νὺξ ἐγένοντο·
Νυκτὸς δ᾽ αὖτ᾽ Αἰθήρ τε καὶ Ἡμέρη ἐξεγένοντο,
οὓς τέκε κυσαμένη Ἐρέβει φιλότητι μιγεῖσα.
Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑωυτῇ
Οὐρανὸν ἀστερόενθ᾽, ἵνα μιν περὶ πάντα καλύπτοι,
ὄφρ᾽ εἴη μακάρεσσι θεοῖς ἕδος ἀσφαλὲς αἰεί,
γείνατο δ᾽ οὔρεα μακρά, θεᾶν χαρίεντας ἐναύλους
Νυμφέων, αἳ ναίουσιν ἀν᾽ οὔρεα βησσήεντα,
ἠδὲ καὶ ἀτρύγετον πέλαγος τέκεν οἴδματι θυῖον,
Πόντον, ἄτερ φιλότητος ἐφιμέρου· αὐτὰρ ἔπειτα
Οὐρανῷ εὐνηθεῖσα τέκ᾽ Ὠκεανὸν βαθυδίνην
Κοῖόν τε Κρεῖόν θ᾽ Ὑπερίονά τ᾽ Ἰαπετόν τε
Θείαν τε Ῥείαν τε Θέμιν τε Μνημοσύνην τε
Φοίβην τε χρυσοστέφανον Τηθύν τ᾽ ἐρατεινήν.
τοὺς δὲ μέθ᾽ ὁπλότατος γένετο Κρόνος ...

## 2. 411(?)BCE, Honours for Pythophanes, *AIO* 305, 15–28

τὰ δὲ]
χρήματα ἅ ἐστιν Πυθοφά[νει Ἀθήνησιν]
ἢ ἄλλοθί πο ὧν Ἀθηναῖοι κ[ρατôσιν, καὶ]
περὶ τῆς νεὼς ἃ λέγει καὶ [περὶ τῶν χρη]-
[μ?]άτων, μὴ ἀδικε͂ν μηδένα, κ[αὶ ἀσυλίαν ε͂]-
ναι αὐτῶι καὶ τοῖς χρήμα[σι αὐτô καὶ ἀ]-
νιόντι καὶ ἀπιόντι. ταῦτ[α μὲν ἔστω ἐψ]-
ηφισμένα ὅσης Ἀθηναῖοι [κρατôσι πᾶσ]-
ι τοῖς Πυθοφάνος κατὰ τα[ὐτά. ὅπως δ’ ἂν]
ταῦτα γίγνηται, τοὺς στ[ρατηγὸς τὸς α]-
[ἰ]εὶ στρατηγôντας ἐπιμ[έλεσθαι καὶ τ]-
[ὴ]ν βολὴν τὴν αἰεὶ βολεύ[οσαν. προσανα]-
[γ]ράψαι δὲ καὶ τόδε τὸ ψή[φισμα ἐς τὴν α]-
[ὐ]τὴν στήλην τὸγ γραμμ[ατέα τῆς βολῆς.]

3. 4BCE, Xenophon, *Cyropaedia*, I, 3.4–6

4 δειπνῶν δὲ δὴ ὁ Ἀστυάγης σὺν τῇ θυγατρὶ καὶ τῷ Κύρῳ, βουλόμενος τὸν παῖδα ὡς ἥδιστα δειπνεῖν, ἵνα ἧττον τὰ οἴκαδε ποθοίη, προσῆγεν αὐτῷ καὶ παροψίδας καὶ παντοδαπὰ ἐμβάμματα καὶ βρώματα. τὸν δὲ Κῦρόν φασι λέγειν· Ὦ πάππε, ὅσα πράγματα ἔχεις ἐν τῷ δείπνῳ, εἰ ἀνάγκη σοι ἐπὶ πάντα τὰ λεκάρια ταῦτα διατείνειν τὰς χεῖρας καὶ ἀπογεύεσθαι τούτων τῶν παντοδαπῶν βρωμάτων. Τί δέ, φάναι τὸν Ἀστυάγην, οὐ γὰρ πολύ σοι δοκεῖ εἶναι κάλλιον τόδε τὸ δεῖπνον τοῦ ἐν Πέρσαις; τὸν δὲ Κῦρον πρὸς ταῦτα ἀποκρίνασθαι [λέγεται]· Οὔκ, ὦ πάππε, ἀλλὰ πολὺ ἁπλουστέρα καὶ εὐθυτέρα παρ' ἡμῖν ἡ ὁδός ἐστιν ἐπὶ τὸ ἐμπλησθῆναι ἢ παρ' ὑμῖν· ἡμᾶς μὲν γὰρ ἄρτος καὶ κρέα εἰς τοῦτο ἄγει, ὑμεῖς δὲ εἰς μὲν τὸ αὐτὸ ἡμῖν σπεύδετε, πολλοὺς δέ τινας ἑλιγμοὺς ἄνω καὶ κάτω πλανώμενοι μόλις ἀφικνεῖσθε ὅποι ἡμεῖς πάλαι ἥκομεν.

5 Ἀλλ', ὦ παῖ, φάναι τὸν Ἀστυάγην, οὐκ ἀχθόμενοι ταῦτα περιπλανώμεθα· γευόμενος δὲ καὶ σύ, ἔφη, γνώσῃ ὅτι ἡδέα ἐστίν. Ἀλλὰ καὶ σέ, φάναι τὸν Κῦρον, ὁρῶ, ὦ πάππε, μυσαττόμενον ταῦτα τὰ βρώματα. καὶ τὸν Ἀστυάγην ἐπερέσθαι· Καὶ τίνι δὴ σὺ τεκμαιρόμενος, ὦ παῖ, λέγεις; Ὅτι σε, φάναι, ὁρῶ, ὅταν μὲν τοῦ ἄρτου ἅψῃ, εἰς οὐδὲν τὴν χεῖρα ἀποώμενον, ὅταν δὲ τούτων τινὸς θίγῃς, εὐθὺς ἀποκαθαίρει τὴν χεῖρα εἰς τὰ χειρόμακτρα, ὡς πάνυ ἀχθόμενος ὅτι πλέα σοι ἀπ' αὐτῶν ἐγένετο. πρὸς ταῦτα δὲ τὸν Ἀστυάγην εἰπεῖν·

6 Εἰ τοίνυν οὕτω γιγνώσκεις, ὦ παῖ, ἀλλὰ κρέα γε εὐωχοῦ, ἵνα νεανίας οἴκαδε ἀπέλθῃς. ἅμα δὲ ταῦτα λέγοντα πολλὰ αὐτῷ παραφέρειν καὶ θήρεια καὶ τῶν ἡμέρων. καὶ τὸν Κῦρον, ἐπεὶ ἑώρα πολλὰ τὰ κρέα, εἰπεῖν· Ἦ καὶ δίδως, φάναι, ὦ πάππε, πάντα ταῦτά μοι τὰ κρέα ὅ τι ἂν βούλωμαι αὐτοῖς χρῆσθαι; Νὴ Δία, φάναι, ὦ παῖ, ἔγωγέ σοι.

7. ἐνταῦθα δὴ τὸν Κῦρον λαβόντα τῶν κρεῶν διαδιδόναι τοῖς ἀμφὶ τὸν πάππον θεραπευταῖς, ἐπιλέγοντα ἑκάστῳ: σοὶ μὲν τοῦτο ὅτι προθύμως με ἱππεύειν διδάσκεις, σοὶ δ᾽ ὅτι μοι παλτὸν ἔδωκας: νῦν γὰρ τοῦτ᾽ ἔχω: σοὶ δ᾽ ὅτι τὸν πάππον καλῶς θεραπεύεις, σοὶ δ᾽ ὅτι μου τὴν μητέρα τιμᾷς: τοιαῦτα ἐποίει, ἕως διεδίδου πάντα ἃ ἔλαβε κρέα.

## 4. 2–3CE, IK Apameia (Bith.) u. Pylai, 28

ἄρτι γενειάζοντά μẹ ọ̔
βάσκανος ἥρπα[σε] δαίμων· ὀγδω a.1
καιδẹκ̣έ̣τ̣η<ς> ἔσ[τ]ιχ̣ον εἰς Ἀ<ΐ>δην.
μῆτερ ἐμή, θρήνω̣ν̣ ἀ̣ποπαύεο, λῆ̣ξον
ὀδυρμῶ̣ν κ[α]ὶ̣ κοπετῶν· Ἀΐδης
οἶκτ̣ον ἀποστρ̣[έφ]εται.
Γάϊος καὶ Κλεοπάτρα Νωνίῳ b.7
[ ]κῳ, τέκνῳ ἰδίῳ, μνήμης
χάριν.

Simplified text:

ἄρτι γενειάζοντά με ὁ βάσκανος ἥρπασε δαίμων·
ὀγδωκαιδεκέτης ἔστιχον εἰς Ἀΐδην.
μῆτερ ἐμή, θρήνων ἀποπαύεο, λῆξον ὀδυρμῶν
καὶ κοπετῶν· Ἀΐδης οἶκτον ἀποστρέφεται.
Γάϊος καὶ Κλεοπάτρα Νωνίῳ [ ]κῳ, τέκνῳ ἰδίῳ, μνήμης χάριν.

## 5. 2CE, Plutach, *Life of Romulus*, 16.

16. (1) Οἱ δὲ Σαβῖνοι πολλοὶ μὲν ἦσαν καὶ πολεμικοί, κώμας δ' ᾤκουν ἀτειχίστους, ὡς προσῆκον αὐτοῖς μέγα φρονεῖν καὶ μὴ φοβεῖσθαι, Λακεδαιμονίων ἀποίκοις οὖσιν. οὐ μὴν ἀλλ' ὁρῶντες αὑτοὺς ἐνδεδεμένους μεγάλοις ὁμηρεύμασι, καὶ δεδιότες περὶ τῶν θυγατέρων, πρέσβεις ἀπέστειλαν ἐπιεικῆ καὶ μέτρια προκαλούμενοι, τὸν Ῥωμύλον ἀποδόντα τὰς κόρας αὐτοῖς καὶ λύσαντα τὸ τῆς βίας ἔργον, εἶτα πειθοῖ καὶ νόμῳ πράττειν τοῖς γένεσι φιλίαν καὶ οἰκειότητα. τοῦ δὲ Ῥωμύλου τὰς μὲν κόρας μὴ προιεμένου, παρακαλοῦντος δὲ τὴν κοινωνίαν δέχεσθαι τοὺς Σαβίνους, οἱ μὲν ἄλλοι βουλευόμενοι καὶ παρασκευαζόμενοι διέτριβον, Ἄκρων δ' <ὁ>βασιλεὺς Καινινητῶν, ἀνὴρ θυμοειδὴς καὶ δεινὸς ἐν τοῖς πολεμικοῖς, τά τε πρῶτα τολμήματα τοῦ Ῥωμύλου δι' ὑποψίας εἶχε, καὶ τῷ πραχθέντι περὶ τὰς γυναῖκας ἤδη φοβερὸν ἡγούμενος πᾶσιν εἶναι καὶ οὐκ ἀνεκτὸν εἰ μὴ κολασθείη, προεξανέστη τῷ πολέμῳ καὶ μετὰ πολλῆς ἐχώρει δυνάμεως ἐπ' αὐτόν, καὶ ὁ Ῥωμύλος ἐπ' ἐκεῖνον. γενόμενοι δ' ἐν ὄψει καὶ κατιδόντες ἀλλήλους προὐκαλοῦντο μάχεσθαι, τῶν στρατευμάτων ἐν τοῖς ὅπλοις ἀτρεμούντων. εὐξάμενος οὖν ὁ Ῥωμύλος, εἰ κρατήσειε καὶ καταβάλοι, τῷ Διὶ φέρων ἀναθήσειν αὐτὸς τὰ ὅπλα τοῦ ἀνδρός, αὐτόν τε καταβάλλει κρατήσας, καὶ τρέπεται τὸ στράτευμα μάχης γενομένης, αἱρεῖ δὲ καὶ τὴν πόλιν. οὐ μὴν ἠδίκησε τοὺς ἐγκαταληφθέντας, ἀλλ' ἢ τὰς οἰκίας ἐκέλευσε καθελόντας ἀκολουθεῖν εἰς Ῥώμην, ὡς πολίτας ἐπὶ τοῖς ἴσοις ἐσομένους. τούτου μὲν οὖν οὐκ ἔστιν ὅ τι μᾶλλον ηὔξησε τὴν Ῥώμην, ἀεὶ προσποιοῦσαν ἑαυτῇ καὶ συννέμουσαν ὧν κρατήσειεν.

## 6. 257BCE, P.Zen. Pestm. 23

r

Ἀμύντας Ζήνωνι χαίρειν. παρεγενήθη πρὸς ἡμᾶς ὁ κοιλουργὸς ἀξ[ιῶν με γράψαι]

πρὸς σὲ ἵνα μὴ ἀδικηθῆι. καλῶς ἂν οὖν ποιήσαις ἀφεὶς αὐτὸν εἴ τι μὴ μέγα ἡμ̣[άρτηκεν],

εἰς δὲ τὸ λοιπὸν φησὶν εὐτακτήσειν· ἐπετιμῶμεγ γὰρ αὐτῶι καὶ ἡμεῖ[ς ἐπειδὴ]

περιτρέχει καὶ οὐκ ἐργάζεται. (hand 2) ἀξιοῖ δὲ ἐν Μέμφει ἀπολειφθεὶς ἐργάζεσθαι. εἰ οὖν μ[ηδέν τι(?)]

ἄλλο Ἀπολλώνιος συντάσσει καλῶς ἂν ποιήσαις ἐπιχωρήσας αὐτῶι.

vac?

ἔρρωσο. [(ἔτους) -ca.?- ]

v

Ζήνωνι.

(hand 3) Ἀμύντας περὶ Χάρητος

κοιλουργοῦ. (ἔτους) κη

Περιτίου ιβ,

[ἐ]μ Βουβάστωι. (hand 4) αν()

Apparatus

r.3. l. ἐπετιμῶμεν

v.11.l. [ἐ]ν